Ακαδημία Αθηνών / Academy of Athens



## 288

1721. Φιρμάνιον Μαΐου, σ. Ἀχμὲτ Γ', περὶ τρόπου πληρωμῆς φόρων τῆς νήσου Σύμης,

μνημ. ἐν *252*, σ. 365. Ἐδ. ἐν *370*, σ. 334–335.

## 289

1721. ΓράμμαπΚ. Ἱερεμίου Γ', περὶ λύσεως ζητημάτων κληρον. δικαίου, ἐν *70*, Α' σ. 146–148 καὶ ἐν *63*, σ. 8–19. Πρβλ. *275*, σ. 736–740.

*(α') — Πατρὸς ἢ μητρὸς ἐπὶ ἑνὶ παιδὶ ἀποθανόντων, εἶτα ἀποθάνῃ καὶ τὸ παιδίον ἀνήλικον καὶ πρὸ τοῦ ἐλθεῖν εἰς αὔξησιν ἡλικίας, τότε γίνεται ἡ τριμοιρία· καὶ τὸ μὲν ἓν μέρος δίδεται εἰς τὴν θανὴν καὶ τὰ μνημόσυνα τοῦ ἀποιχομένου, τὸ δὲ ἕτερον μέρος λαμβάνει τὸ ζῶν μέρος ἐκ τοῦ ἀνδρογύνου, ὁ πατὴρ τυχὸν ἢ ἡ μήτηρ, καὶ τὸ ἄλλο ὁ πάππος ἢ ἡ μάμμη τοῦ θανόντος παιδίου. Ὅταν δὲ πατὴρ ἢ μήτηρ ἀποθάνῃ ἐπὶ παιδί, καὶ τὸ παιδίον αὐξηθὲν καὶ ἐλθὸν εἰς νόμον ἡλικίαν καὶ γενόμενον χρόνων δεκατεσσάρων, ἀποθάνῃ, τηνικαῦτα τριμοιρίαν οὐ δεῖ γίνεσθαι· ἀλλὰ τὸ ζῶν μέρος, πατὴρ εἰ τύχοι, ἢ μήτηρ, κληρονομεῖ τὸ τεθνηκὸς παιδίον.*

*(β') — Μητρὸς δὲ ἀποθανούσης ἐπὶ παίδων, αἱ πρὸς τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς πρὸ γάμου δωρεαὶ κληρονομία γίνεται τοῦ παιδός, μετὰ τῆς λοιπῆς μητρικῆς αὐτοῦ περιουσίας.*

*(γ') — Εἶτα καὶ τοῦ παιδὸς θανόντος ἀνηλίκου ἢ ἐνηλίκου, οἱ κληρονόμοι ἐκείνου, ὡς ἀνωτέρω διείληπται, κληρονομοῦσι πάντα. Γονέων δὲ τοῦ τεθνεῶτος μὴ ὄντων, πατρὸς δηλονότι ἢ μητρός, ἢ πάππου, ἢ μάμμης, ἢ καὶ προπάππου καὶ προμάμμης, τότε τριμοιρία οὐ γίνεται, ἀλλ' οἱ πλησιέστεροι καὶ οἱ ἐγγύτεροι συγγενεῖς κληρονόμοι γίνονται.*

*(δ') — Ὁ δὲ ἀνήρ, θανούσης τῆς γυναικὸς αὐτοῦ, οὐ ἐπιστρέφει οὐδ' ἀποδίδοσιν ἃς παρ' ἐκείνης ἔφθη λαβὼν πρὸ γάμου δωρεάς.*

*(ε') — Πατρὸς δὲ ἀποθανόντος ἐπὶ παιδί, εἶτα καὶ τοῦ παιδὸς θανόντος καὶ τριμοιρίας γενομένης, ἡ γυνὴ οὐ λαμβάνει ἅπερ ἐδωρήσατο πρὸ γάμου τῷ ἀνδρὶ αὐτῆς, ἀλλὰ καὶ ταῦτα, τὰ παρ' αὐτῆς τῷ ἀνδρὶ αὐτῆς δωρηθέντα πρὸ γάμου, συναριθμοῦνται μετὰ τῆς λοιπῆς ἐκείνου περιουσίας. Καὶ τριμοιρίας γενομένης, τὸ μὲν ἓν μέρος δίδοται εἰς τὸν θάνατον καὶ τὰ μνημόσυνα τῶν ἀποιχομένων, τὸ δὲ ἕτερον μέρος λαμβάνει ἡ γυνή, ἡ καὶ μήτηρ, δηλονότι, τοῦ καταλειφθέντος ἐκείνου παιδίου . . .».*

## 290

1721. Φιρμάνιον ρυθμῖζον τὰς σχέσεις φράγκων καὶ ραγιάδων τῆς νήσου Νάξου,

ἐν *146*, σ. 80–83.

## 291

1721. Φιρμάνιον τῆς 21 Ὀκτ. περὶ ἀπαγορεύσεως συνάψεως τετάρτου γάμου μεταξὺ χριστιανῶν, μέσῳ τῶν τουρκικῶν Ἀρχῶν,

ἐν *32*, σ. 153–154.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ